Index apostolorum discipulorumque Domini (Greek)

Lives of the Prophets (1st–4th century)

SermonIndex.net / Church Fathers

Authorship. A collection of legends of uncertain date and author; it is not scripture.

Index apostolorum discipulorumque Domini

Δωροθέου ἐπισκόπου Τύρου ἀρχαίου ἀνδρὸς πνευματοφόρου καὶ μάρτυρος γεγονότος ἐν τοῖς καιροῖς Λικινίου καὶ Κωνσταντίνου τῶν βασιλέων.

Οὗτος ὁ προλεχθεὶς ἀοίδιμος ἀνὴρ συγγράμματα διάφορα καταλέλοιπε Ῥωμαϊκά τε καὶ Ἑλληνικά, ἐπειδήπερ καὶ ἑκατέρων τῶν γλωσσῶν ἔμπειρος ὑπῆρχε· γέγονε δὲ καὶ πολυστωρ δι᾽ εὐφυΐαν. Μετὰ δὲ τὴν τελευτὴν Διοκλητιανοῦ καὶ Λικινίου κατέλαβε καὶ αὐτὸς τὴν ἰδίαν παροικίαν καὶ ἦν ἰθύνων τὴν ἐν Τύρῳ ἐκκλησίαν μέχρις Ἰουλιανοῦ τοῦ τυράννου. Καὶ ἐπειδήπερ οὐκ αὐτοφανῶς, ἀλλὰ κρυπνῶς διὰ τῶν ἀρχόντων Ἰουλιανὸς ἀνῄρει τοὺς Χριστιανούς, πάλιν ὁ Δωρόθεος κατέλαβε τὴν Ὀδυσσούπολιν, ἔνθα καὶ συσχεθεὶς ὑπὸ τῶν Ἰουλιανοῦ ἀρχόντων, καὶ πολλοὺς αἰκισμοὺς ὑπομείνας ἐν βαθυτάιῳ γήρᾳ διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν ταῖς βασάναις ἐναπέθανεν, ἑκατὸν καὶ ἑπτὰ ἐτῶν ἤδη τυγχάνων.

Οὗτος τοίνυν ὁ μέγας πρεσβύτης καὶ συγγράματα ἡμῖν ἐκκλησιαστικὰ καταλέλοιπεν, ἐν οἷς καὶ τὰ περὶ τῶν ο′ μαθηπ̅π̅ τοῦ σωτῆρος ἱστόρησε, καὶ ἔνθα ὁ καθεὶς τῶν προφητῶν καὶ ἀποστόλων τὸν βίον ἐτελεσεν. Ἐν πρώτοις μὲν τοὺς ο΄ ἐκείνους εἶναι λέγει, ὧν οἱ πλείους καὶ ἐπίσκοποι ἐν διαφόροις παροικίαις ἐγένοντο, ὧν καὶ ὁ θεῖος ἀπόστολος ἐν τοῖς ἀσπασμοῖς αὐτοῦ μέμνηται· μετὰ γὰρ τὴν τοῦ σωτῆρος ἡμῶν ἐκ νεκρῶν ἀνάστασιν πάντας αὐτοὺς ἐπιστρέψαι σημαίνει καὶ ἐν τοῖς ἀποστόλοις γεγενῆσθαι, ὧν καὶ τὰς ἐπωνυμίας ὧδε που οὗτος ἐπισημαίνεται λέγων.

α′. Ἰάκωβος ὁ ἀδελφὸς τοῦ κυρίου καὶ πρῶτος ἐπίσκοπος Ἱεροσολύμων ὑπ᾽ αὐτοῦ τοῦ κυρίου γενόμενος.

β′. Κλεοπᾶς ὁ καὶ Συμεών, ὁ ἀνέψιος τοῦ κυρίου γεο γενόμενος καὶ δεύτερος ἐπίσκοπος Ἱεροσολύμων, ὅς καὶ εἶδεν αὐτὸν μετὰ τὸ ἀναστῆναι αὐτὸν ἐκ νεκρῶν.

γ′. Ματθίας ὁ ἀναπληρώσας τὸν ἀριθμὸν τῶν ιβ′ ἀποστόλων.

δ′. Θαδδαῖος ὁ τὴν ἐπιστολὴν Αὐγάρῳ τοπάρχῳ ἀποκος ἐν Ἐδέσσῃ καὶ ἰασάμενος αὐτοῦ τὸ πάθος.

ε′. Ἀνανίας ὁ βαπτίσας τὸν ἅγιον Παῦλον καὶ Δαμασκοῦ μετέπειτα γενόμενος ἐπίσκοπος.

ς′. Στέφανος ὁ πρωτομάρτυς ὁ εἷς τῶν ἐκλελεγμένων ὑπὸ τῶν ιβ′ ἀποστόλων εἰς διακονίαν.

ζ′. Φίλιππος ὁ εἷς τῶν ζ′, ὁ καὶ Σίμωνα καὶ τὸν εὐνοῦχον βαπτίσας, καὶ ἐν Τράλλεσι τῆς Ἀσίας γεγονὼς ἐπίσκοπος.

η′. Πρόχωρος ὁ εἷς τῶν. ζ′ καὶ ἐπίσκοπος Νικομηδείας τῆς Βιθυνίας γενόμενος.

θ′. Νικάνωρ ὁ εἷς τῶν ζ′, ὃς κατ᾽ αὐτὴν τὴν ἡμέραν ἀπέθανε, καθ᾽ ἣν ὁ ἅγιος Στέφανος σὺν δισχιλίοις ἄλλοις τῶν ἠλπικότων εἰς τὸν Χριστόν.

ι′. Τίμων ὁ εἷς τῶν ζ′, ὃς ἐπίσκοπος Βοστρῶν τῶν Ἀράβων γενόμενος ἐκαύθη ὑπὸ τῶν Ἑλλήνων.

ια′. Παρμενᾶς ὁ εἷς τῶν ζ′, ὃς ἐπ᾽ ὄψεσι τῶν ἀποστόλων ἀπέθανεν ἐν τῇ διακονίᾳ αὐτοῦ.

ιβ′. Νικόλαος ὁ εἷς τῶν ζ′, ὃς ἐπίσκοπος Σαμαρείας γενόμενος ἐτεροδόξησεν ἅμα τῷ Σίμωνι.

ιγ′. Βαρνάβας ὁ μετὰ Παύλου τῷ λόγῳ διακονήσας πρῶτον ἐν Ῥώμῃ τὸν Χριστὸν ἐκήρυξεν, ἐπίσκοπος εδιολάνου μετέπειτα γεγονώς.

ιδ′. Μάρκος, ὅς ὑπὸ Πέτρου τοῦ ἀποστόλου ἐπίσκοπος Ἀλεξανδρείας ἐγένετο καὶ εὐαγγελιστής.

ιε′. Σιλᾶς ὁ σὺν τῷ Παύλῳ τῷ λόγῳ διακονήσας καὶ ἐν Κορίνθῳ ἐπίσκοπος γεγονώς.

ις′. Λουκᾶς, ὅς κατὰ πᾶσαν τὴν γῆν τὸ εὐαγγέλιον σὺν Παύλῳ ἐκήρυξεν.

ιζ′. Σιλουανὸς ὁ σὺν τῷ Παύλῳ τῷ λόγῳ διακονήσας Θεσσαλονίκης ἐπίσκοπος γέγονεν.

ιη′. Κρήσκης, οὗ μέμνηται ὁ ἀπόστολος ἐν τῇ πρὸς Τιμόθεον δευτέρᾳ ἐπιστολῇ, ὃς καὶ ἐπίσκοπος Χαλκηδόνος τῆς ἐν Γαλλίᾳ ἐγένετο.

ιθ′. Ἐπαίνετος, οὗ ὁ ἀπόστολος μέμνηται ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ, ὅς καὶ ἐπίσκοπος Καρθαγένης ἐγένετο.

κ′. Ἀνδρόνικος, οὗ ὁ ἀπόστολος μέμνηται ἐν τῇ πρὸς Ῥωμαίους, ὅς καὶ ἐπίσκοπος Σπανίας ἐγένετο.

κα′. Ἀμπλίας, οὗ καὶ αὐτοῦ μέμνηται ἐν τῇ πρὸς ωμαίους, ὅς καὶ ἐπίσκοπος Ὀδυσσοῦ ἐγένετο.

κβ′. Οὐρβανὸς, οὗ καὶ αὐτοῦ ἐν τῇ πρὸς Ῥωμαίους μέμνηται, ὅς ἐπίσκοπος Μακεδονίας ἐγένετο.

κγ′. Στάχυς, οὗ καὶ αὐτοῦ ἐν τῇ πρὸς Ῥωμαίους μέμνηται, ὃν καὶ Ἀνδρέας ὁ ἀπόστολος τὴν Ποντιδικὴν θάλασσαν διαπλέων ἐν Ἀργυροπόλει τῆς Θρᾴκης ἐπίσκοπον τοῦ Βυζαντίου κατέστησεν.

κδ′. Ἀπελλῆς, οὗ καὶ αὐτοῦ ἐν τῇ πρὸς Ῥωμαίους μέμνηται ὁ ἀπόστολος, ὅς καὶ αὐτὸς ἐπίσκοπος Ἡρακλείας ἐγένετο.

κε′. Φύγελλος τὰ Σίμωνος φρονήσας Ἐφέσου ἐπίσκοπος ἐγένετο.

κς′. Ἑρμογένης, ὃς ἐν Μεγάροις καὶ αὐτὸς κατέστη ἐπίσκοπος.

κζ′. Δημᾶς, οὗ ὁ ἀπόστολος μνημονεύει ἐν τῇ πρὸς ιμόθεον β′ ἐπιστολῇ, ὅτι ἑτεροδοξήσαντες Φύγελλος καὶ Ἑρμογένης ἀντέστησαν τῇ διδασκαλίᾳ αὐτοῦ. Ὁ δὲ Δημᾶς ἀγαπήσας τὸν νῦν αἰῶνα κατέλιπε τὸν εὐαγγελικὸν λόγον, καὶ ἐν Θεσσαλονίκῃ ἱερεὺς τῶν εἰδώλων ἐγένετο, περὶ οὗ καὶ Ἰωάννης ὁ ἀπόστολος ἔγραψεν· ἐξ ἡμῶν ἐξῆλθον, ἀλλ᾽ οὐκ ἦσαν ἐξ ἡμῶν.

κη′. Ἀπελλῆς, οὗ καὶ αὐτοῦ ἐν τῇ πρὸς Ῥωμαίους μέμνηται ὁ ἀπόστολος, ὃς καὶ αὐτὸς ἐπίσκοπος Σμύρνης ἐγένετο πρὸ τοῦ ἁγίου Πολυκάρπου.

κθ′. Ἀριστόβουλος, οὗ καὶ αὐτοῦ ἐν τῇ πρὸς Ῥωμαίους μέμνηται ὁ ἀπόστολος, ὃς Βρετανίας ἐπίσκοπος ἐγένετο.

λ′. Νάρκισσος, οὗ καὶ αὐτοῦ μέμνηται ἐν τῇ πρὸς ωμαίους, ὅς καὶ αὐτὸς ἐπίσκοπος Ἀθηνῶν γέγονεν.

λα′. Ἡρωδίων, οὗ καὶ αὐτοῦ μέμνηται ἐν τῇ πρὸς ωμαίους, ὅς καὶ ἐπίσκοπος Παταρῶν ἐγένετο.

λβ′. Ἄγαβος ὁ ἐν ταῖς πράξεσι τῶν ἀποστόλων μνημονευόμενος, ὅς καὶ προφητικοῦ χαρίσματος ἠξιώθη.

λγ′. Ῥοῦφος, οὗ καὶ αὐτοῦ ἐν τῇ πρὸς Ῥωμαίους ὁ ἀπόστολος μέμνηται, ὃς καὶ ἐπίσκοπος Θηβῶν ἐγένετο.

λδ′. Ἀσύγκριτος, οὗ καὶ αὐτοῦ ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ μέμνηται, ὅς καὶ αὐτὸς ἐπίσκοπος Ὑρκανίας ἐγένετο.

λε′. Φλέγων, οὗ καὶ αὐτοῦ ἐν τῇ πρὸς Ῥωμαίους μέμνηται, ὃς καὶ ἐπίσκοπος Μαραθῶνος ἐγένετο.

λς′. Ἑρμῆς, οὗ καὶ αὐτοῦ ἐν τῇ πρὸς Ῥωμαίους μέμνηται, ὅς καὶ ἐπίσκοπος Δαλματίας ἐγένετο.

λζ′. Πατροβᾶς, οὗ καὶ αὐτοῦ ὁ ἀπόστολος μέμνηται, ὅς καὶ ἐπίσκοπος ἐν Ποτιόλοις γέγονεν.

λη′. Ἑρμᾶς, οὗ καὶ αὐτοῦ ἐν τῇ πρὸς Ῥωμαίους μέμνηται, ὃς καὶ ἐπίσκοπος Φιλιππουπόλεως ἐγένετο.

λθ′. Λίνος ὁ μετὰ Πέτρου τὸν ἀπόστολον Ῥώμης ἐπίσκοπος γεγονώς.

μ′. Γάϊος, οὗ ὁ ἀπόστολος μέμνηται, ὃς ἐπίσκοπος Ἐφέσου ἐγένετο μετὰ Τιμόθεον τὸν μαθητὴν Παύλου τοῦ ἀποστόλου.

μα′. Φιλόλογος, οὗ καὶ αὐτοῦ ὁ ἀπόστολος μέμνηται, ὅς καὶ ἐπίσκοπος γέγονεν ὑπὸ Ἀνδρέου ἀποστόλου ἐν Σινώπῃ.

μβ′. Ὀλυμπᾶς.

μγ′. Ῥωδίων, ὧν καὶ αὐτῶν ὁ ἀπόστολος μέμνηται, οἳ καὶ ἐν Ῥώμῃ ἅμα Πέτρῳ τῷ ἀποστόλῳ ὑπὸ Νέρωνος τὰς κεφαλὰς ἀπετμήθησαν.

μδ′. Λουκᾶς, οὗ καὶ αὐτοῦ ἐν τῇ πρὸς Ῥωμαίους μέμνηται, ὅς καὶ ἐπίσκοπος ἐν Λαοδικείᾳ τῆς Συρίας ἐγένετο.

με′. Ἰάσων, οὗ καὶ αὐτοῦ ἐν τῇ πρὸς Ῥωμαίους μέμνηται, ὃς καὶ ἐπίσκοπος Ταρσοῦ ἐγένετο.

μς′. Σωσίπατρος, οὗ καὶ αὐτοῦ ἐν τῇ πρὸς Ῥωμαίους μέμνηται, ὅς καὶ ἐπίσκοπος Ἰκονίου ἐγένετο.

μζ′. Τέρτιος ὁ καὶ τὴν πρὸς Ῥωμαίους γράψας ἐπιστολήν, ὅς δεύτερος ἐπίσκοπος Ἰκονίου ἐγένετο.

μη′. Ἔραστος, οὗ καὶ αὐτοῦ μέμνηται ἐν τῇ αὐτῇ ἐπιστολῇ, ὃς καὶ οἰκονόμος τῆς ἐν Ἱεροσολύμοις ἐκκλησίας γέγονεν καὶ ἐπίσκοπος μετέπειτα Πανιάδος.

μθ′. Κούαρτος, οὗ καὶ αὐτοῦ μέμνηται ἐν τῇ αὐτῇ ἐπιστολῇ, ὃς καὶ ἐπίσκοπος Βηρυτοῦ γέγονεν.

ν′. Ἀπολλώς, οὗ καὶ αὐτοῦ ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ μέμνηται ὁ ἀπόστολος, ὅς καὶ ἐπίσκοπος Καισαρείας γέγονεν.

να′. Κηφᾶς, ὃν ὁ ἀπόστολος Παῦλος ἐν Ἀντιοχείᾳ ἤλεγξεν, ὅς καὶ ἐπίσκοπος Κονίας ἐγένετο.

νβ′. Σωσθένης, οὗ καὶ αὐτοῦ ὁ ἀπόστολος μέμνηται, ὃς καὶ ἐπίσκοπος Κολοφωνίας ἐγένετο.

νγ′. Τύχικος, οὗ καὶ αὐτοῦ ὁ ἀπόστολος μέμνηται, ὃς ἐπίσκοπος Κολοφωνίας ἐγένετο.

νδ′. Ἐπαφρόδιτος, οὗ καὶ αὐτοῦ ὁ ἀπόστολος μέμνηται, ὃς καὶ ἐπίσκοπος Ἀνδριακῆς γέγονεν.

νε′. Καῖσαρ, οὗ καὶ αὐτοῦ μέμνηται ὁ ἀπόστολος, ὃς ἐπίσκοπος τοῦ Δυῤῥαχίου γέγονεν.

νς′. Μάρκος ὁ ἀνέψιος Βαρνάβα, οὗ καὶ αὐτοῦ μέμνηται ὁ ἀπόστολος, ὃς καὶ ἐπίσκοπος Ἀπολλωνιάδος γέγονεν.

νζ′. Ἰησοῦς ὁ λεγόμενος Ἰοῦστος, οὗ καὶ αὐτοῦ μέμνηται ὁ ἀπόστολος ἐν ταῖς πράξεσι τῶν ἀποστόλων, ὅς καὶ ἐπίσκοπος Ἐλευθεροπόλεως γέγονεν.

νη′. Ἀρτεμᾶς, οὗ καὶ αὐτοῦ μέμνηται ὁ ἀπόστολος, ὃς ἐπίσκοπος γέγονεν Λύστρας.

νθ′. Κλήμης, οὗ καὶ αὐτοῦ μέμνηται ὁ ἀπόστολος λέγων· μετὰ Κλήμεντος καὶ τῶν λοιπῶν συνεργῶν μου, ὅς καὶ πρῶΚονίας] ἐξ ἐθνῶν καὶ Ἑλλήνων ἐπίστευσεν εἰς Χριστόν, ὃς καὶ μετέπειτα ἐπίσκοπος Σαρδικῆς γέγονεν.

ξ′. Ὀνησίφορος, οὗ καὶ αὐτοῦ μέμνηται ὁ ἀπόστολος, ὃς ἐπίσκοπος Κορωνίας γέγονεν.

ξα′. Τύχικος, οὗ καὶ αὐτοῦ μέμνηται ὁ ἀπόστολος, πρῶτος ἐπίσκοπος τῆς Χαλκηδόνος τῆς Βιθυνίας γέγονεν.

ξβ′. Κάρπος, οὗ καὶ αὐτοῦ μέμνηται ὁ ἀπόστολος, ὅς καὶ Βεροίας τῆς Θρᾴκης ἐπίσκοπος γέγονεν.

ξγ′. Εὔοδος, ὃς μετὰ Πέτρον τὸν ἀπόστολον ἐπίσκοπος γέγονεν ἐν Ἀντιοχείᾳ, οὗ καὶ αὐτοῦ ὁ ἀπόστολος μέμνηται.

ξδ′. Ἀρίσταρχος, οὗ καὶ αὐτοῦ μέμνηται ὁ ἀπόστολος, ὅς καὶ ἐπίσκοπος Ἀπαμείας τῆς Συρίας γέγονεν.

ξε′. Μάρκος ὁ καὶ Ἰωάννης καλούμενος, οὗ ὁ Λουκᾶς ταῖς πράξεσι μέμνηται, ὅς καὶ ἐπίσκοπος Βύβλου γέγονεν.

ξς′. Ζηνᾶς ὁ νομικός, οὗ καὶ αὐτοῦ ὁ ἀπόστολος μέμνηται, ὅς καὶ ἐπίσκοπος Διοσπόλεως γέγονεν.

ξζ′. Φιλήμων, πρὸς ὃν καὶ ἐπιστολὴν ἔγραψεν, ὃς καὶ ἐπίσκοπος Γάζης γέγονεν.

ξη′. ξθ′. ο′. Ἀρίσταρχος καὶ Πούδης καὶ Τροφιμος· οὗτοι οἱ τρεῖς ἐν πᾶσι τοῖς διωγμοῖς τοῦ ἀποστόλου συγκακοπαθήσαντες τέλος ἐν Ῥώμῃ σὺν τῷ αὐτῷ ἀποστόλῳ ὑπὸ Νέρωνος τοῦ βασιλέως τὰς κεφαλὰς ἀπετμήθησαν.

Ταῦτα ὁ τρισμακάριος καὶ πανόλβιος Δωρόθεος ἐν Ῥώμῃ γεγονὼς διὰ Ῥωμαϊκῆς διαλέκτου ἐν ὑπομνήμασι καταλέλοιπεν, ἐξ ὧν καὶ ἡμεῖς ἐρανισάμενοι καὶ πρὸς τὴν Ἑλληνικὴν μεθερμηνεύσαντες φωνὴν ἐμφανῆ τοῖς πᾶσι πεποιήκαμεν, τὴν τῶν ἑβδομήκοντα μαθητῶν ἐκλογὴν πιστὴν καὶ ἀληθῆ αὐτὴν καταλαβόμενοι. Καὶ γὰρ ὁ ἀπόστολος γράφων περὶ αὐτῶν ἔλεγεν, ὅτι καὶ πρὸ ἡμῶν γεγόνασιν ἐν κυρίῳ. Καὶ οὐκ ἂν ἄπιστόν τις λογίσηται μετὰ τὴν ἀνάστασιν τοῦ Χριστοῦ ἐπιστρέψαι τοὺς

ο᾽ καὶ πιστεῦσαι εἰς αὐτόν, θεωρήσαντας τὴν ἀνάστασιν αὐτοῦ τὴν ἐκ νεκρῶν, ὃ μεῖζον πάντων τῶν θαυμάτων ὑπῆρξε καί ἐστιν.

Οὗτος τοίνυν ὁ μέγας ἀρχιερεὺς Δωρόθεος διηγήσατο ἐν γραφαῖς, ὅτιπερ ὁ σεπτὸς οἶκος τῆς ἁγίας καὶ καλλινίκου μάρτυρος Εὐφημίας ἐν τῷ Πετρίῳ ὑπὸ Τίτου τινὸς ἐκτίσθη ἀπὸ πρώτης, ὅστις Τίτος γεγονὼς ἐπίσκοπος τοῦ Βυζαντίου καὶ τελειωθεὶς ἐν αὐτῇ, ἀπετέθη πλησίον τῶν παλαιῶν τευχῶν, ἐξότε Ἀνδρέας ὁ ἀπόστολος καὶ τοῖς τόποις ἐπέστη καὶ πολλὰ πλήθη Χριστιανῶν παρ᾽ αὐτὰ συντρέχειν παρεσκεύαζεν, ὡς μήτε τοσούτους ἐν ἄλλοις τόποις εὑρίσκεσθαι. Ἅπαντες γὰρ οἱ τοῦ Βυζαντίου διδάσκαλοι καὶ ὑπομονητικοὶ γενόμενοι διὰ ταπεινοφρωσύνην, τὰς μὲν τυῤῥανικὰς ἀπέφυγον ἀπειλάς, τοῖς δὲ ἐξ ἐθνῶν ἢ ἐξ Ἰουδαϊσμοῦ τὸν ἔνθεον ἐπέσπειρον λογισμόν, εἰ καὶ μάλιστα τοῦ Τίτου θαυματουργίας ἐπιτελοῦντος, οἵας τε καὶ ὁ Σωτὴρ ἐπετέλεσεν. Ἔτι δὲ καὶ τῆς τυραννίδος Λικινίου καὶ Διοκλητιανοῦ κρατούσης ἐν τῇ ὑποθέσει ταύτῃ ἀναιρεῖται. Καὶ Κάρος ὁ βασιλεὺς καὶ οἱ τούτου υἱοὶ Καρῖνος καὶ Νουμεριανὸς λοιπὸν ἐν ἀδείᾳ οἱ τύρανοι γενόμενοι ἀναιδεστέρως πρὸς τὰς τιμωρίας τῶν Χριστιανῶν ηὐτομόλουν, εἰς χιλιάδας τὸ καθ᾽ ἡμέραν ἐκ τούτων ἀναιροῦντες· μεθ᾽ ὧν Ἀδριανὸς ὁ τοῦ Πρόβου υἱὸς θανεῖν ἔσπευσεν.

Γενόμενος γὰρ ἐν τῇ Νικομηδέων πόλει μετὰ τὴν Κάρου ἀναίρεσιν καὶ ἰδὼν τὰ πλήθη τῶν Χριστιανῶν ὑπὸ Λικινίου ἀναιδῶς ἀναιρούμενα, προσελθὼν πρὸς τὸ βῆμα ἔλεγεν τῷ Λικινίῳ· διὰ τί οὕτως ἀναιδῶς τὸ στράτευμα τῶν Ῥωμαίων ἀναιρεῖται; καὶ ἰδοὺ τὰ πλεῖστα τῶν Ῥωμαίων· βάρβαροι κατέχουσιν. Ὁ δὲ Λικίνιος πρὸς αὐτόν· μὴ καὶ σὺ Χριστιανὸς εἶ; Ὁ δὲ Ἀδριανὸς πρὸς αὐτόν· καὶ μὴν εὔχομαι ἐν τῇ ὁμολογίᾳ ταύτῃ τελειωθῆναι ἢ τὸ ἀρνήσασθαι τὸν Χριστόν. Λικίνιος δὲ πολλὰς μὲν βασάνους, πολλὰς δὲ καὶ θωπεύσεις καὶ ἐπαγγελίας πρὸς αὐτὸν προσήγαγεν. Ὡς δὲ ἑώρα αὐτὸν τῇ τοῦ Χριστιανοῦ ὁμολογίᾳ ἐνιστάμενον, :θυμομαχήσας κατ᾽ αὐτοῦ ἐκέλευσεν τὴν κεφαλὴν αὐτοῦ ἀπτμηθῆναι. Τοῦ δὲ ἐν τῇ ὁμολογίᾳ ταύτῃ τελειωθέντος ὁ Μητροφάνης γνοὺς ἄρτι τῆς ἐπισκοπῆς ἐναρξάμενος, ἅμα τοῖς συνοῦσιν αὐτῷ καταλαμβάνει τὴν Νικομήδειαν καὶ ὑποκλέψας αὐτοῦ τοῦ Καλλινίκου μάρτυρος Ἀδριανοῦ τὸ λείύκρατούσης λείψανον, ἀπεκομίσατο αὐτὸ καὶ ἀπέθετο ἐν τῇ πρώτῃ αὐτοῖς ὑπαρξάσῃ ἐκκλησίᾳ διακειμένῃ πλησίον τοῦ Βυζαντίου ἐπιλεγομένου τόπου Ἀργυροπόλεως, ἔνθα καὶ Τίτος πρῶτος ἡγησάμενος ἐπίσκοπος Κωνσταντινουπόλεως ἀπέθετο τὸ λείψανον Ἀδριανοῦ τοῦ ἐπὶ Μαξιμιανοῦ μαρτυρήσαντος, καὶ Ναταλίαν τὴν τούτου γυναῖκα καὶ ἑτέρους τοὺς σὺν αὐτῷ μαρτυρήσαντας, ὅπου καὶ τὸ λείψανον ἀπέκειτο Στάχυος τοῦ ἑνὸς τῶν ἑβδομήκοντα μαθητῶν, ὃς ὑπὸ Ἀνδρέου τοῦ ἀποστόλου ἐν τῷ αὐτόθι τόπῳ πρῶτος ἐπίσκοπος τοῦ νῦν υζαντίου κατέστη.

Ὁ γὰρ Ἀνδρέας ἐπὶ τὸν Πόντον διαπερούμενος ἤθελεν τοῖς ἐν τῷ Βυζαντίῳ τὸν Χριστὸν καταγγεῖλαι. Ἀλλ᾽ ἐπειδήπερ Ζεύξιππος τὸν τόπον τότε ἡγεμονεύων αἱμοβόρος τις ὢν πάντας τοὺς προσβάλλοντας ξένους τῷ Βυζαντίῳ πρότερον διερωτωμένους τὰ περὶ τοῦ Χριστοῦ, εἶθ᾽ οὕτως εἰσιέναι συνεχώρει. Καὶ ἐάν τις

ὡμολόγησεν τὸν Χριστόν, εἰς δέσμα τοῦτον εὐθὺς καὶ παρ᾽ αὐτὰ δεσμευθέντας τοὺς πόδας τε καὶ χεῖρας θαλαττοῦσθαι προσέτασσεν. Διὰ τὴν τοιαύτην οὖν ὠμότητα παραπλεύσας ὁ Ἀνδρέας τὸ Βυζάντιον, κατῴκησεν ἐπὶ διετῆ χρόνον πλησίον τοῦ Βυζαντίου τῷ Θρᾳκίῳ μέρει ὡς ἀπὸ σταδίου ἑνὸς τῆς Ἀργυροπόλεως, ἐκεῖ ἐπὶ συναγωγὴν τῶν ἐνθέσμων καὶ φιλαλήθων ἀνδρῶν ποιούμενος. Ὡς οὖν περὶ τοὺς δισχιλίους ἐπισυνάξας τῷ Χριστῷ θυσιαστήριον ἐδράσας ἐν τῇ Ἀργυροπόλει καὶ τὸν Στάχυν ἐπίσκοπον καταστήσας εἰς Σινώπην τοῦ Πόντου μεθίσταται.

Τοῦ δὲ Στάχυος διαγενομένου τοῖς αὐτοῦ ἓξ καὶ δέκατον ἔτος ἐν τῇ ἐπισκοπῇ Ὀνήσιμος μετὰ τοῦτον γίνεται, περὶ οὗ Παῦλος ὁ ἀπόστολος τῷ Φιλήμονι ἔγραψεν. Καὶ τούτου δὲ τεσσαρεσκαιδέκατον ἔτος διανύσαντος ἐν τῇ λειτουργίᾳ Πολύκαρπος μετὰ τούτου τρία ἔτη ἐπίσκοπος τοῦ Βυζαντίου καθίσταται. Διαγενομένου δὲ καὶ τούτου δέκα πρὸς τοῖς ὀκτὼ ἔτεσι Πλούταρχος μετέρχεται τὴν ἱερωσύνην. Καὶ αὐτοῦ δὲ διανύσαντος ἔτη ις′, Σεδεκίων διάδοχος αὐτοῦ καθίσταται ἐπὶ ἐννεαετῆ χρόνον. Μεθ᾽ ὃν Διογένης ἐν ἔτει ιε′ τῇ ἱερατείᾳ προσμείνας τελειοῦται. Μετὰ δὲ τοῦτον Ἐλευθέριος ἐπὶ ἑπταετῆ χρόνον. Μεθ᾽ ὃν Φίλιξ ἐπι πέμπτου ἔτους· καὶ μετὰ τοῦτον Πολύκαρπος ἕως ἐτῶν ιζ′. Ἔνθα τοίνυν τὰ τούτων σώματα ἀπετέθη λιθίνῳ σηκῷ ἐκεῖ· καὶ τὸ τῆς Ναταλίας σῶμα ἀπετέθη καὶ Ἀδριανοῦ τοῦ μετέπειτα μαρτυρήσαντος. Ἐν δὲ τῷ ἑτέρῳ λάρνακι ἐξ εὐθείας τότε ποιηθέντι τῶν ιγ′ μαρτύρων τὰ λείψανα ἐνεβλήθη. Ἐν δὲ μολυβδίνῃ λάρνακι καθ᾽ ἑαυτὸν ἀπετέθη ὁ Ἀδριανὸς ὁ αταλίας ἀνήρ, ἃ καὶ μέχρι τῆς δεῦρο ἐμφανῶς πρόκεινται ἐν τῷ ὑπογαίῳ σπηλαίῳ, ἔνθα ἀπόστολος Ἀνδρέας τὸ θυσιαστήριον ἵδρασεν. Ἤδη δὲ πλήθους ἱκανοῦ συναθροισθέντος τῶν εἰς Χριστὸν ἠλπικότων, παυσαμένης δὲ καὶ τυραννίδος τοῦ Βυζαντίου μετὰ τὴν τοῦ Ζευξίππου τελευτὴν ἐγκρατεῖς τε τόπων πλεόνων γενόμενοι οἱ τῆς ἐν Ἀγρυροπόλει ἐκκλησίας προεστῶτες τὴν τῶν πολλῶν ὄχλησιν καὶ τὴν τῶν Ἑλλήνων καὶ Ἑβραίων προσβολὴν ἐκφυγεῖν βουλόμενοι, ἐν τοῖς μεσογείοις πλησίον τῆς Ἀργυροπόλεως ἐκκλησίαν ἄλλην ἀνεγείρουσιν, ἣν Κωνσταντῖνος ὁ μέγας βασιλεὺς μετέπειτα μειζοτέραν πεποίηκεν, σταυροειδῆ αὐτὴν διαγραψάμενος, βουλόμενος καὶ τὸ αὐτοῦ σῶμα ἐκεῖσε κατατεθῆναι. Ἀλλ᾽ ἐπειδὴ λοιπὸν τὰ τοῦ Βυζαντίου ηὐξήθη, συνεβούλευσαν οἱ συνόντες τῷ Κωνσταντίνῳ μὴ δεῖν ἔξωθεν τῆς πόλεως τὰ τῶν βασιλέων σώματα ἀποκομίζεσθαι. Τούτου οὖν χάριν ἕτερος μὲν τόπος εἰς ταφὴν τῶν βασιλέων ἐγένετο. Ὁ δὲ γεγονὼς οἶκος ἀφιερώθη τοῖς ἐν τῷ νόμῳ καρτερικοῖς καὶ θεόφροσιν ἑπτὰ παισὶν καὶ Ἐλεαζάρῳ τῷ ἀρχιερεῖ, τὴν ἀρχαίαν ἐπωνυἀπετέθη τὸν τόπον οἶκος κληρωσάμενος. Ἐλαιὼν γὰρ ἐξ ἀρχαίων τῶν χρόνων ὁ τόπος ἐπικέκληται, ὅνπερ εὐκτήριον οἶκον Ἀθηνόδωρος ὁ μετὰ Πολύκαρπον ἐπίσκοπος γεγονὼς πρῶτος ἐνήρξατο. Ἐκεῖ τὴν ἐπισκοπὴν διανύσας ἐν ἔτεσι τέσσαρσι, μεθ᾽ ὧν ἐν τοῖς αὐτοῦ ἐνδέκατος ἐπίσκοπος τοῦ Βυζαντίου καθίσταται Εὐζώϊος, ὅς καὶ αὐτὸς ἐν ἔτεσιν ἓξ τοῖς αὐτῶν ἱερατεύσας, Λαυρεντίῳ τὴν ἱερωσύνην καταλέλοιπεν. Καὶ αὐτοῦ δι᾽ ἔνδεκα ἔτη καὶ μῆνας ἓξ πληρώσαντος Ἀλύπιος ἡγεῖται τῆς ἱερωσύνης ἐπὶ ἔτη ιγ′ ἥμισυ. Πάλιν δὲ

μετὰ τοῦτον Περτίναξ ἐγένετο ἔτη ιδ′ κρατήσας τῆς ἱερωσύνης. Οὗτος δὲ ὁ Περτίναξ ὑπατικὸς τῶν ἐν Ῥώμῃ καὶ στρατηλάτης γεγονὼς πάθει τε ἀφύκτῳ παραπεπτωκώς, διάγων ἐν τοῖς Θρᾳκίοις μέρεσιν, ἔμαθεν πλείστας δυνάμεις γενέσθαι ἐν τῷ Βυζαντίῳ ὑπὸ τῶν Χριστιανῶν. Παραγενόμενος δὲ πρὸς Ἀλύπιον τὸν ἐπίσκοπον ἐν τῇ ἐπὶ Ἐλαίας λεγομένῃ ἐκκλησίᾳ καὶ διὰ τῆς αὐτοῦ ἐντεύξεως καὶ τῆς τῶν χειρῶν αὐτοῦ ἐπιθέσεως ῥυσθεὶς τῶν ἀλγηδόνων, ἀπαρνεῖται τὴν τῶν εἰδώλων πλάνην καὶ τὴν τῆς στρατιᾶς ὑπεροχὴν καὶ βαπτισθεὶς τῇ εἰς Χριστὸν ἐλπίδι ἣν προσκατερῶν τῷ Ἀλυπίῳ, τῆς τοῦ πρεσβυτέρου ἀξίας μετειληφὼς ἐν δάκρυσι κατανύξας ἑκάστην ἡμέραν διατελῶν καὶ μετὰ τὴν Ἀλυπίου τελευτὴν εἰς ἐπίσκοπον αὐτὸν προεχειρίσαντο. Πλούσιός τε σφόδρα ὑπάρχων ὁ Περτίναξ πάλιν αὐτὸς ἐκκλησίαν ἀνίστησιν παρ᾽ αὐτὸ τὸ θαλασσίδιον ἐν τῷ ἐπιλεγομένῳ Σύκαις, Εἰρήνην τὸν οἶκον προσαγορεύσας, ὅνπερ τόπον οἱ Χριστιανοὶ ὡς μίαν τῶν πόλεων ἀπετέλεσαν, οἴκους διαφόρους καὶ πλείστους ἀναστήσαντες, διόπερ καὶ μετέπειτα Κωνσταντῖνος ὁ ἀεισεβέστατος τείχεσι τὸν τόπον ἐτίμησεν. Μετὰ δὲ τὸν Περτίνακα καὶ Ὀλυμπιανὸς ἐν τῇ ἐκκλησίᾳ τῇ ἐπιλεγομένῃ Εἰρήνῃ καθίσταται ἐπίσκοπος αὐτὸς ἱερατεύσας ἐπὶ ια′ ἔτη. Τούτου διάδοχος γίνεται Μάρκος ἐπὶ τρισκαιδέκατον ἔτος· μετὰ τοῦτον Κυριλλιανὸς ἐν ἔτεσιν ις′, μετὰ τοῦτον Καστῖνος ἐτῶν ἑπτά. Ὁ οὖν ωνσταντῖνος ἐν τῷ πρώτῳ αὐτοῦ ἔτει ἐκκλησίαν ἄλλην ἀνίστησιν ἔσωθεν τοῦ Βυζαντίου κατὰ τὸ βόρειον μέρος, ἔνθα καὶ οἱ ἡγεμονεύσαντες τοῦ Βυζαντίου κατέκειντο, Εὐφημίας τῆς μάρτυρος τὸν οἶκον προσαγορεύσας κατ᾽ αὐτὸν τὸν καιρὸν μαρτυρησάσης αὐτῆς. Ἐκεῖ τοίνυν τὸν ἐπίλοιπον χρόνον τῆς ἱερατείας τελέσας Τίτον διάδοχον καταλιμπάνει, ὃς ἔτη λε′ καὶ μῆνας ς′ πληρώσας Δομέτιον τὸν ἀδελφὸν τοῦ Πρόβου τοῦ βασιλέως διάδοχον καθίστησιν, καὶ τούτου δὲ κδ′ ἔτη πρὸς μησὶν ἕξ τελέσαντος, Πρόβος ὁ Δομετίου υἱὸς διαδέχεται τὴν ἱερωσύνην ἕως πληρώσεως ἐτῶν ιβ′, μεθ᾽ ὧν Μητροφάνης, ὁ ἀδελφὸς Πρόβου καὶ Δομετίου υἱὸς, ἐπίσκοπος τοῦ Βυζαντίου καθίσταται ι′ ἔτη προσμείνας τῇ ἱερατείᾳ.

Ἐφ᾽ οὗπερ καὶ Κωνσταντῖνος ὁ ἀεισεβέστατος ἕνεκεν τῆς πρὸς Λικίνιον παρατάξεως καταλαβὼν τὸ Βυζάντιον, καὶ ἀρεσθεὶς τῇ τοῦ ἀνδρὸς σεμνότητι καὶ τὴν τῶν τόπων εὐκοσμίαν ἐννοήσας, τέως ταῖς εὐχαῖς τοῦ Μητροφόνους ἐγκρατὴς τοῦ κατὰ Λικίνιον πολέμου ἐγένετο, καὶ εὐθὺς τὰ τῆς Ῥώμης βασίλεια εἰς τὸ Βυζάντιον μετατίθησι τείχεσί τε αὐτὴν ὀχυρώσας καὶ ὀροφαῖς, παροχάς τε δαψιλεῖς τοῖς πολίταις χαρισάμενος κατὰ τὴν αὐτοῦ ἐπωνυμίαν.

Ταῦτα ὁ πανάριστος Δωρόθεος ἐν Ῥωμαικοῖς συγγράμμασι καταλέλοιπεν, ἀντεβλήθησάν τε καὶ παρ᾽ ἡμῶν ἐν ὑπατείᾳ Φιλοξένου καὶ Πρόβου, ὁπηνίκα Ἰωάννης ὁ ἐπίσκοπος Ῥώμης ἦλυθεν ἐν Κωνσταντινουπόλει. Προτραπεὶς γὰρ ὑπὸ τοῦ τῆς πόλεως ἀρχιεπισκόπου συλλειτουργῆσαι αὐτῷ ἐν τοῖς γενεθλίοις τοῦ Χριστοῦ, ἀπηγόρευσε τοῦτο ποιῆσαι, ἐὰν μὴ πρῶτος τοῦ τῆς πόλεως ἐπισκόπου ἱερατεύσῃ, ὅσα τε δὴ τῆς Ῥώμης πρὸ Κωνσταντινουπόλεως ἐπισκόπου δεξαμένης. Κινήσεως οὖν ἐκ τούτου γενομένης ἐκ τῶν συγγραμμάτων τοῦ μεγάλου Δωροθέου τὴν σύστασιν οἱ ωνσταντινουπόλεως ἐποιοῦντο, δεικνύντες προγενεστέραν

τῆς Ῥώμης τὴν Κωνσταντινουπόλεως εἶναι ἐπισκοπήν. Ἰωάννης δὲ ὁ Ῥωμαίων ἐπίσκοπος τὸ μὲν σύγγραμμα Δωροθέου ἀληθὲς εἶναι διεβεβαιοῦτο, προτιμᾶσθαι δὲ τοῦ τῆς πόλεως ἐπισκόπου ἔλεγεν διὰ τὸ τοῦ κορυφαιοτάτου τῶν ἀποστόλων τὸν τόπον ἐπέχειν, καὶ τούτου ἕνεκεν τὰ πρωτεῖα αὐτῷ παρεχωρήθη, οὐ μὴν διὰ τὸ προϋπάρχειν τὴν τῆς Ῥώμης ἐπισκοπὴν τῆς Κωνσταντινουπόλεως.

Ὑποκατιὼν δὲ ἐν τοῖς τελευταίοις τοῦ συγγράμματος αὐτοῦ ὁ ἱερὸς Δωρόθεος μνήμην ποιεῖται καὶ τῶν δώδεκα ἀποστόλων σημαίνων, ἔνθα ὁ καθεὶς αὐτῶν ἐκήρυξεν εἰπών.

α′. Πέτρος μὲν ὁ ἀπόστολος ἐν Γαλλίᾳ καὶ ἐν τοῖς μεσογαίοις Πόντου καὶ εἰς πᾶσαν τὴν Καππαδοκίαν καὶ Βιθυνίαν κηρύξας τὸ εὐαγγέλιον μετὰ τὸ ἐπαναζεῦξαι αὐτὸν ἀπὸ Ἀντιοχείας, ὕστερον δὲ καὶ ἐν τῇ Ἰταλίᾳ πάσῃ καὶ Ῥώμῃ, ἔνθα καὶ ὑπὸ Νέρωνος σταυρωθεὶς ἐν αὐτῇ τῇ Ῥώμῃ θάπτεται πρὸ τριῶν Καλανδῶν Ἰουλίων.

β′. Ἀνδρέας ὁ ἀδελφὸς αὐτοῦ πᾶσαν τὴν παραλίαν τῆς Βιθυνίας τε καὶ Πόντου, Θρᾴκης τε καὶ Σκύθας διῆλθεν εὐαγγελιζόμενος τὸν κύριον. Μετέπειτα δὲ ἐπορεύθη ἐν Σεβαστοπόλει τῇ μεγάλῃ, ὅπου ἡ παρεμβολὴ Ἄψαρος καὶ ὁ Φᾶσις ποταμός, ἔνθα οἱ ἐσώτεροι Αἰθίωπες κατοικοῦσιν Ἐτάφη ἐν Πάτραις τῆς Ἀχαΐας σταυρωθεὶς ὑπὸ Αἰγεάτου.

γ′. Ἰάκωβος δὲ ὁ τοῦ Ζεβεδαίου τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ, μεθ᾽ ὧν εὐαγγελιζόμενος τὸν Χριστὸν ἀναιρεῖται μαχαίρᾳ ὑπὸ Ἡρώδου τοῦ τετράρχου ἐν Καισαρείᾳ τῆς Παλαιστίνης.

δ′. Ἰωάννης ὁ τούτου ἀδελφός, ὃς καὶ τὸ εὐαγγέλιον γεγράφηκεν, ἐν τῇ Ἐφέσῳ κηρύξας τὸν Χριστὸν ὑπὸ Τραιανοῦ τοῦ βασιλέως εἰς Πάτμον τὴν νῆσον διὰ τὸν λόγον τοῦ Χριστοῦ ἐξορίζεται. Ἐκ ταύτης μετάρσιος γεγονώς, διὸ καὶ λόγος κεκράτηκεν σὺν τῷ Ἐνὼχ καὶ τῷ Ἠλίᾳ ἔτι ἐν σαρκὶ αὐτὸν ὑράρχειν.

[δ′. Ἰωάννης ὁ τούτου ἀδελφὸς ἐτῶν ὑπέχων ν′ καὶ μηνῶν ζ′ εἰσελθὼν ἐν Ἐφέσῳ καὶ κηρύξας ἐν αὐτῇ τὸν λόγον ἔτη ιθ′, ἐξορίζεται ὑπὸ Τραιανοῦ τοῦ βασιλέως ἐν Πάτμῳ τῇ νήσῳ καὶ διατρίψας ἐν αὐτῇ ἔτη ιε′ συνεγράψατο τὸ ἅγιον εὐαγγέλιον καὶ τὴν ἀποκάλυψιν καὶ πάλιν ὑποστρέψας ἐν Ἐφέσῳ καὶ ζήσας ἔτη κς′ διδάσκων, μετεστάθη ἐν κυρίῳ, ὑπάρχων ἐτῶν ρ′ καὶ μηνῶν ζ′, ταφεὶς ὑπὸ τῶν μαθητῶν αὐτοῦ, καθὼς διηγεῖται ὁ ἀπόστολος Πρόχωρος ὁ καὶ τὴν περίοδον αὐτοῦ συγγραψάμενος.]

ε′. Φίλιππος δὲ ἀπόστολος ἐν Φρυγίᾳ κηρύξας τὸ εὐαγγέλιον θάπτεται ἐν Ἱεραπόλει μετὰ τῶν ζ θυγατέρων αὐτοῦ, ὧν Λουκᾶς ὁ εὐαγγελιστὴς ἐν ταῖς πράξεσι τῶν ἀποστόλων ἀπεμνημόνευσεν.

ς′. Βαρθολομαῖος ὁ ἀπόστολος Ἰνδοῖς τοῖς καλουμένοις εὐδαίμοσι κηρύξας τὸν Χριστὸν καὶ δεδωκὼς αὐτοῖς τὸ κατὰ Ματθαῖον εὐαγγέλιον, ἐκοιμήθη ἐν Κορβανοπόλει τῆς μεγάλης Ἀρμενίας.

ζ′. Θωμᾶς δὲ ὁ ἀπόστολος Πάρθοις καὶ Μήδοις, καὶ Πέρσαις καὶ Γερμανοῖς καὶ Βάκτροις καὶ Μάγοις κηρύξας τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, τελειοῦται ἐν πόλει τῆς Ἰνδίας Καλάμῃ τῇ λεγομένῃ.

η′. Ματθαῖος δὲ ὁ εὐαγγελιστὴς τῇ ἑβραΐδι διαλέκτῳ τὸ εὐαγγέλιον παραδοὺς τῇ ἐν Ἱεροσολύμοις ἐκκλησίᾳ κηρύξας τὸν Χριστὸν τελειοῦται ἐν Ἱεραπόλει τῆς Συρίας.

θ′. Ἰούδας δὲ ὁ Ἰακώβου ἐν πάσῃ τῇ Μεσοποταμίᾳ κηρύξας τὸν Χριστὸν τελειοῦται ἐν Ἐδέσσῃ καὶ ἐκεῖ θάπτεται.

ι′. Σίμων δὲ ὁ ἐπικληθεὶς Ἰούδας ἐν Ἐλευθεροπόλει καὶ ἀπὸ Γάζης ἕως. Αἰγύπτου κηρύξας τὸν Χριστὸν θάπτεται ἐν τῇ Ὀστρακίνῃ πόλει τῆς Αἰγύπτου σταυρωθεὶς ἐπὶ Τραιανοῦ τοῦ βασιλέως.

ια′. Ματθίας δὲ ὁ συγκαταριθμηθεὶς τοῖς ἕνδεκα ἀποστόλοις ἀντὶ Ἰούδα ἐν τῇ πρώτῃ Αἰθιοπίᾳ κηρύξας τὸν Χριστόν, ὕστερον δὲ καὶ ἐν Βρεττανίᾳ σταυρωθεὶς ὑπ᾽ αὐτῶν καὶ τελειωθεὶς θάπτεται ἐκεῖ.

ιβ′. Σίμων δὲ ὁ ζηλωτὴς πᾶσαν τὴν Μαυριτανίαν καὶ τὴν τῶν Ἀφρῶν χώραν διελθὼν καὶ κηρύξας τὸν Χριστόν, ὕστερον δὲ καὶ ἐν Βρεττανίᾳ σταυρωθεὶς ὑπ᾽ αὐτῶν καὶ τελειωθεὶς θάπτεται ἐκεῖ.

Ταῦτα ἡμῖν ὁ Δωρόθεος ἐξ Ἑλληνικῶν καὶ Ἑβραικῶν συνήγαγε καὶ παρέδωκε Ῥωμαϊκοῖς ὑπομνήμασιν, ἅπερ ἡμεῖς ὡς χρηστὰ καὶ εὐπαράδεκτα συναγαγόντες ἐμφανῆ πεποιήκαμεν, ὅπως τε ἡ ἔναρξις τῆς ἐπισκοπῆς Κωνσταντινουπόλεως γέγονεν, ἐξ οἵου τε γένους ὁ Μητροφάνης κατήγετο.

Εὕρομεν δὲ ταῦτα ἐν τοῖς ἱστορικοῖς συγγράμμασι τοῦ λεχθέντος θείου ἀνδρὸς Δωροθέου, ὅτι ὁ Σίμων ὁ Κυρηναῖος ἐσταυρώθη ὑπὲρ τοῦ Χριστοῦ,

[Περὶ τοῦ προφήτου Ἱερεμίου καὶ τῆς αἰχμαλωσίας Ἱερουσαλήμ]

καὶ ὅτιπερ ὁ Ἱερεμίας ἱερεὺς ὢν καὶ προφήτης θείῳ πνεύματι προθεωρήσας καὶ τὴν τῆς Ἱερουσαλὴμ αἰχμαλωσίαν μετὰ τὴν τελευτὴν Ἰωσίου τοῦ βασιλέως Ἰουδαίας.

[Περὶ τῆς κιβωτοῦ καὶ τῶν ἐν αὐτῇ ἁγίων.]

Ἄρας τὴν σκηνὴν τὴν Μωσαϊκὴν καὶ τὴν κιβωτὸν τῆς διαθήκης καὶ πάντα τὰ ἅγια ἐν αὐτῇ καὶ πάντα τὰ σκεύη, ἃ Μωϋσῆς κατεσκεύασεν, ἐλθὼν εἰς τὸ ὄρος Ναβαίου, ἔνθα ὁ Μωϋσῆς αὐτὸς ἐτάφη, εὗρε σπήλαιον κἀκεῖ πάντα ἀπέθετο, καὶ ηὔξατο εὐχήν, ὥστε μὴ φανερωθῆναι αὐτὰ ἕως τῆς συντελείας τοῦ αἰῶνος, καὶ ἔκτοτε ὁ τόπος ἀγνώριστος ἐγένετο καὶ αὐτοῖς τοῖς ἱερεῦσιν ἅμα τῷ Ἱερεμίᾳ ἀποθεμένοις αὐτά.

[Περὶ τῆς θυγατρὸς τῆς Ἡρωδιάδος.]

Ἐπὶ ὑπατείας Γάλβον καὶ Σύλλα, ἐπὶ τούτων τῶν ὑπάτων ἀπὸ κρύους παγωθείσης τῆς λίμνης Γεννησαρὲτ ἡ θυγάτηρ τῆς Ἡρωδιάδος κατὰ τέρψιν ἐπὶ τοῦ πάγους ἀπέβαινε. Τοῦ δὲ πάγους διαθρυβέντος τὸ σῶμα αὐτῆς κατεπόθη ὑπὸ τοῦ ὕδατος, ἡ δὲ κεφαλὴ αὐτῆς ἐκκοπεῖσα ὑπὸ τοῦ πάγους ἄνωθεν ἔμεινεν. Ἡ δὲ Ἡρωδιὰς ἐπὶ τῶν γονάτων αὐτῆς ἀπεθεμένη τὴν κεφαλὴν τῆς θυγατρὸς κλαίουσα ὡμολόγει, ὅτι διὰ τοῦ αἰτήσασθαι αὐτὴν τὴν κεφαλὴν Ἰωάννου τοῦ βαπτιστοῦ τοῦτο ὑπέμεινεν.

Καὶ Ἡρώδης δὲ κατὰ ταύτην βασιλεὺς τῶν Ἰουδαίων τετραρχήσας ἀπέθανε σκωληκόβρωτος γενόμενος. κληρονόμησε δὲ τὸν Ἡρώδην ὁ Πιλάτος, καθότι κατ᾽ ὀφθαλμοὺς Ἡρώδου καὶ οἱ τέσσαρες υἱοὶ αὐτοῦ καὶ αὕτη ἡ Ἡρωδιάς, ἐξ ἧς ἔσχεν αὐτούς, σκωληκόβρωτοι γενόμενοι ἐξέψυξαν.

[Ἀλλὰ καὶ ὁ Ἡρώδης σκωληκόβρωτος περὶ τὰ αἰδοῖα καὶ ὅλου τοῦ σώματος γενόμενος κακινκάκως τὴν ψυχὴν ἀπέῤῥηξεν. Ὁ δὲ Πιλάτος καθότι κατ᾽ ὀφθαλμοὺς ἰδὼν τοῦ Ἡρώδου καὶ τοὺς τέσσαρας υἱοὺς αὐτοῦ σκωληκοβρώτους γενομένους καὶ ἀποψύξαντας ἔλαβε πάντα τὰ αὐτοῦ καὶ ἐκληρονόμησεν αὐτόν, ἀλλὰ καὶ αὕτη ἡ μοιχαλὶς Ἡρωδιὰς ἅμα τοῖς τέσσαρσιν υἱοῖς αὐτῆς καὶ τῷ Ἡρώδῃ σκωληκόβρωτος γενομένη τὴν ἰδίαν ψυχὴν ἀπέῤῥηξεν.]

Προκόπιος τοίνυν τις τοῦ πρεσβυτερίου ἠξιωμένος βίῳ τε καὶ λόγῳ εὐσεβείας διαπρέψας καὶ πάσῃ τῇ περὶ τὰς γραφὰς ἐμμελείᾳ τε καὶ ἐμπειρίᾳ ἀεὶ ἐνασκηθεὶς καὶ ἐντετυχηκὼς ταῖς ἱστορικαῖς συγγραφαῖς τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου ἐπισκόπου καὶ μάρτυρος Δωροθέου, ταῦτα πάντα ἡμῖν ἐγκοπεῖσα ἐγγράφως καταλέλοιπεν. Χάρις τοίνυν αὐτοῦ τοῖς πόνοις καὶ τῇ ἀθανάτῳ μνήμῃ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Source. Greek text from the First Thousand Years of Greek project of the Open Greek and Latin project (digital edition of *Prophetarum vitae fabulosae* edited by Theodorus Schermann (Leipzig, Teubner: 1907)), encoded in EpiDoc TEI XML. Digitised and corrected by the Open Greek and Latin team (University of Leipzig and partners); the text is taken from the printed edition by OCR with correction, so some errors may remain. SermonIndex has only divided it into short sections for reading; the critical notes, margin notes and apparatus of the printed edition are not shown here but are kept in the XML download.

Licence. Creative Commons Attribution-ShareAlike 4.0 International (CC BY-SA 4.0). You may share and adapt this text if you credit the Open Greek and Latin project and release your version under the same licence.